www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὴν ἔνδοξον τοῦ Χριστοῦ Ἀπόστολον καὶ Μυροφόρον Μαρίαν τὴν Μαγδαλινήν

Ἦχος α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ἕτερος εἰς τὴν ἔνδοξον τοῦ Χριστοῦ Ἀπόστολον καὶ Μυροφόρον Μαρίαν τὴν Μαγδαλινήν, οὗ ἡ ἀκροστιχίς, «Μαγδαλινήν Μαρίαν ἐν ὕμνοις μέλπω», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.» Ἦχος α΄.**

*Ὠιδὴ Α΄ Ὠιδὴν ἐπινίκιον.*

Μαρίαν πανένδοξον, τὴν μυροφόρον, ἐνθέοις ὑμνήσωμεν, ᾄσμασι φιλέορτοι, καὶ πόθῳ πνευματικῷ, τὴν πάνσεπτον μνήμην αὐτῆς, πανηγυρίσωμεν.

Ἀπόστολον σήμερον τὴν τοῦ Σωτῆρος, καὶ θείαν μαθήτριαν, ἐγκωμίοις στέψωμε, Μαρίαν Μαγδαλινήν, καὶ πρὸς τὸν Χριστὸν τὸν Λυτρωτήν, πρέσβυν προσάξωμεν.

Γυναῖκες ὑπήντησαν, αἱ Μυροφόροι, τῆς δόξης τὸν Κύριον, ἐξαρχούσης χαίρουσαι, Μαρίας Μαγδαλινῆς, τριήμερον ἐκ τῶν νεκρῶν, ἐξαναστάντα Χριστόν.

Διδάσκαλον ἔσχηκας, τὸν τῶν ἁπάντων, Δεσπότην ὃν ἔρωτι, θείῳ ἠκολούθησας καὶ τούτου Μαγδαλινή, τοῖς Μαθηταῖς εὐηγγελίσω τὴν Ἀνάστασιν.

*Θεοτοκίον.*

Ἱλάσθητι Δέσποινα, τῷ σῷ ἱκέτῃ, καὶ σθένωσον μέλψαι νῦν, ἐπαξίως ᾄσμασι, τὴν

μνήμην τῆς εὐκλεοῦς, τῆς Μυροφόρου τοῦ Χριστοῦ, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

*Ὠιδὴ Γ΄ Στερεωθήτω.*

Ἀγαλλιάσθε καὶ εὐφραίνεσθε, ἡ Μαρία ἔλεγε τοῖς Μαθηταῖς, ὁ γὰρ Διδάσκαλος ἡμῶν, ἐξανέστη τοῦ μνήματος, ἐν αὐτῷ καὶ καταλέλοιπε, αὐτοῦ τὰ ἐντάφια.

Λελυτρωμένη ἀνεκραύγαζε, ἡ Μαγδαλινὴ τῷ Σωτῆρι Χριστῷ, ὀσμὴν εἰς μύρου σου κἀμέ, τοῦ ἁγίου σου πρόσδεξαι, καὶ ἐνίσχυσον τὴν ἔγερσιν, κηρύξαι τοῖς ἔθνεσι.

Ἰδοῦσα λίθον τὸν τοῦ μνήματος, ἀποκυλισθέντα προσέδραμε, σὺν Μυροφόροις γυναιξίν, Ἀποστόλοις καὶ ἔφησεν, ἡ Μαρία ἐξεγήγερται, τοῦ τάφου ὁ Κύριος.

Νυγεῖσα πόθῳ τὴν καρδίαν μου, τῷ σῷ Ἰησοῦ μου ἐβόα Σωτήρ, Μαρία ἡ Μαγδαλινή, καὶ ὀπίσω σου ἔδραμον, ὡς διψῶσα ἐπὶ νάματα, ζωήρρυτα ἔλαφος.

*Θεοτοκίον.*

Λελαμπρυσμένη τῆς Θεότητος, ταῖς ἀκτῖσι Κόρη καταύγασον, τὴν ἐρεβώδη μου ψυχήν, τῇ πολλῇ εὐσπλαγχνίᾳ σου, καὶ ἐν ἔργοις Παναμώμητε, φωτός με στερέωσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ Δ΄ Ἐν πνεύματι προβλέπων.*

Ἡγίασέ σε ἔνδοξε Ἀπόστολε Χριστός, δυσμενῶν τὴν χάριν σοι, δαιμόνων δεδωκώς, ἀπελαύνειν δύναμιν τὴν ψυχοφθόρον, τῶν σωμάτων λύειν τε τὰς ἀλγηδόνας, δόξα σοι σεμνὴ θεοδόξαστε.

Νυγεῖσαν τοῦ Δεσπότου τὴν Ἄχραντον πλευράν, ἐν σταυρῷ ἑώρακας, αὐτῷ Μαγδαλινή, ἀναβοῶσα Σωτήρ μου, σὺ εἶ ὁ αἴρων, φιλαμαρτήμονος κόσμου τὴν ἁμαρτίαν, δόξα τῇ δυνάμει σου Κύριε.

Μαρίας Μυροφόρου τὴν μνήμην οἱ πιστοί, εὐλαβῶς τελέσωμεν, ᾠδαῖς πνευματικαῖς, καθικετεύοντες δοῦναι ἡμῖν εἰρήνην, καὶ τῶν σχισμάτων τὰ νέφη ἀποσοβῆσαι, ἡ τοῦ Διδασκάλου Μαθήτρια.

*Θεοτοκίον.*

Ἁγίαν τῶν ἁγίων σε γινώσκοντες Ἁγνή, ὡς Θεὸν γεννήσασαν, μὴ παύσῃ ἐκτενῶς, ἐκδυσωπεῖν αὐτὸν τεύξασθαι ἡμᾶς λύσιν, δυσχερειῶν ἐνεστώτων καὶ τῆς μελλούσης, διὰ σοῦ φυγεῖν κατακρίσεως.

*Ὠιδὴ Ε΄ Τὸ φαεινὸν ἡμῖν.*

Ἀναρτηθέντα σε ἐν σταυρῷ ὡς ἑώρα ἡ πάνσοφος, Μαγδαλινὴ ἀνεβόα Σωτήρ ἡμῶν, τοῖς πρὸς σὲ ὀρθρίζουσι, δεῖξον σου τὸ ἔλεος.

Ῥῦσαι δεινῶν ἡμᾶς, ἐπερχομένων φθόνῳ τοῦ δράκοντος, ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου Μυροφόρε, τοὺς πανηγυρίζοντας, τὴν σὴν μνήμην πάνσεμνε.

Ἴαμα ἄμισθον, τῇ τῶν λειψάνων σου θήκῃ προστρέχουσι, ὄντως γέγονας Μαγδαλινὴ φωτοφόρε, καὶ προστάτις ἕτοιμος, τοῖς ἐπικαλουμένοις σε.

*Θεοτοκίον.*

Ῥόδον εὔοσμον, σὺ ἀνεδείχθης Παρθένε πανάσπιλε, ὡς τετοκυῖα τὸν πλάστην τῆς φύσεως, τὸν ἀνυψώσαντα, φύσιν τὴν ἀνθρώπινον.

*Ὠιδὴ ΣΤ΄ Τὸν προφήτην Ἰωνᾶν.*

Ἀναστὰς ὁ Ἰησοῦς, τῶν σαββάτων τῇ μιᾷ, χαῖρε τῇ Μαγδαλινῇ, σὺν ταῖς ἄλλαις γυναιξί, ἐφώνησε, τοῖς ἐμοῖς φίλοις, χαίρειν προσείπατε.

Νικοδήμῳ τῷ σεπτῷ, Ἰωσήφ τε τῷ κλεινῷ, ἡ Μαρία τὸν Χριστόν, ἐν μνημείῳ τῷ καινῷ, κατέθεντο, ζεούσῃ πίστει, τὴν τῶν ἁπάντων ζωήν.

Ἐξαρχούσης Μαριάμ, τῆς σοφῆς Μαγδαλινῆς, Μυροφόρων ὁ χορός, ἐν τῷ μνήματι Χριστοῦ, ἐλήλυθε, σῶμα τὸ θεῖον, ἀλεῖψαι μύροις αὐτοῦ.

Θεοτοκίον.

Ἱκεσίαις σου Ἁγνή, ἐκ παντοίων πειρασμῶν, τοὺς προσφεύγοντας εἰς σέ, ἐλευθέρωσον ἡμᾶς, καὶ ἴθυνον, πρὸς μετανοίας, τρίβους τοὺς δούλους σου.

Ὠιδὴ Ζ΄ Ἡ κάμινος Σωτήρ.

Νοσούντων ἰατρεῖον γινώσκομεν, λειψάνων σου τὴν θήκην ἀκένωτον, Μαγδαλινή, τοῦ Χριστοῦ εὐαγγελίστρια.

Ὑπήντησας Μαρία τὸν Κύριον, ἐκ τάφου ἀναστάντα τριήμερον, εὐλογητός εἶ, Θεέ μου ἀνεκραύγαζες.

Μαθήτρια τοῦ Λόγου ἐνδέδειξαι, τῆς γῆς περιελθοῦσα τὰ πέρατα, οἰκονομίαν, αὐτοῦ ἀνακηρύττουσα.

Νυγεῖσα τὴν καρδίαν τῷ ἔρωτι, Χριστοῦ τῶν ἐπὶ γῆς κατεφρόνησας, αὐτοῦ ὀφθεῖσα, πανένδοξος Ἀπόστολος.

Θεοτοκίον.

Ὠδίνας ἐν τῷ τίκτειν διέδραμες, Παρθένος μετὰ γέννησιν μείνασα, εὐλογημένη, Χριστὸν ἡ ἀνατείλασα.

Ὠιδὴ Η΄ Ὃν φρίττουσιν Ἄγγελοι.

Ὃν πόρρωθεν ἤγγειλαν, φωναὶ τῶν Προφητῶν, σταυρῷ καθηλούμενον, Χριστὸν τὸν Λυτρωτήν, ὁρῶσα Μαρία, ἀνεβόας

πιστῶς, σὺ εἶ ὁ καθαίρων, τὴν ἁμαρτίαν κόσμου.

Ἰδεῖν κατηξίωσαι, Χριστὸν ἐκ τῶν νεκρῶν, τριήμερον ἐκλάμψαντα σεμνὴ Μαγδαλινή, τὸ χαῖρέ σοι φήσας καὶ τοῖς Μαθηταῖς αὐτοῦ, ἐν τῇ Γαλιλαίᾳ, δραμεῖν αὐτοὺς ἐν τάχει.

Σοφίαν ἐκήρυξας Θεοῦ Μαγδαλινή, τῷ κόσμῳ ἐκτρέψασα, τὴν πλάνην τοῦ ἐχθροῦ, κλεινὴ Μυροφόρε, τοὺς ὑμνοῦντάς σε νῦν, σῶζε ἐκ κινδύνων, καὶ νόσων σαῖς πρεσβείαις.

Μονὴν τὴν τοῦ Σίμωνος, τὴν ὥσπερ θησαυρόν, ἀδάπανον ἔχουσαν, ἁγίας σου χειρός, τὸ λείψανον Μαρία, Μυροφόρε Χριστοῦ, εἰς αἰῶνας ταύτην, περίσωζε καὶ φρούρει.

*Θεοτοκίον.*

Ναὸς ἐχρηματίσας, τοῦ πάντων ποιητοῦ, Παρθένε κυήσασα, αὐτὸν ἄνευ σπορᾶς, τὴν ποίμνην σου σκέπε, τὴν ὑμνοῦσαν ἀεί, καὶ ὑπερυψοῦσάν σε Κόρη εἰς αἰῶνας.

*ᾨδὴ Θ΄ Τὴν φωτοφόρον νεφέλην.*

Ἐν τῷ σταυρῷ παρεστῶσα, τοῦ τῶν ἁπάντων Δεσπότου, Μαρία ἡ Μαγδαλινή, θρηνωδοῦσα ἐβόα, ὁ δι᾽ ἐμὲ σαρκὶ παθών, παθῶν με λυτρούμενος φιλάνθρωπε,

μεγαλύνω οἰκτίρμων, τὸ ἑκούσιον σου πάθος Λυτρωτά.

Λάμπουσα θείαις ἀκτίσι, τῶν ἀρετῶν Μυροφόρε, τῷ θείῳ θρόνῳ ἐσαεί, παρεστῶσα μὴ παύσῃ, τοῦ Διδασκάλου σου σεμνή, πρεσβεύουσα τεύξασθαι, ἐλέους αὐτοῦ, τοὺς ὑμνοῦντάς σε πόθῳ καὶ τὴν μνήμην ἐκτελοῦντάς σου πιστῶς.

Περιχαρῶς ὀρθοδόξων, τὰ πλήθη τῆς Μυροφόρου, Μαρίας τῆς Μαγδαλινῆς, ἑωρτάσωμεν μνήμην, καὶ ἀσπασώμεθα πιστῶς, αὐτῆς χαριτόβρυτον, τὸ θεῖον λείψανον, ἐξαιτούμενοι λύσιν, νοσημάτων καὶ παντοίων πειρασμῶν.

Ὡραϊσμένη ταῖς θείαις, τῶν ἀρετῶν Μυροφόρε, καὶ οὐρανίαις καλλοναῖς, σὺν Ὁσίῳ τῷ πάνυ, τῷ θείῳ Σίμωνι Χριστόν, θερμῶς ἱκετεύοντες μὴ παύσησθε, Βασιλείας τῆς ἄνω, ἀξιῶσαι ἡμᾶς πάντας ἐντυχεῖν.

*Θεοτοκίον.*

Μήτηρ ὑπάρχεις τοῦ Λόγου, καὶ προστασία τοῦ κόσμου, τὴν σὴν Παρθένε ἀγαθή, ποίμνην Ὄρους τοῦ Ἄθω, περίσωζε ἐκ πειρασμῶν, καὶ πάσης κακώσεως, ὡς Ἔφορος, τὴν σὲ πόθῳ ὑμνοῦσαν, Θεοτόκε καὶ δοξάζουσαν ἀεί.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ